ἀλλ' ὅπου τὸ τοιοῦτον ἐπικεκρυμμένον ἐστίν, ἀπάτης χάριν τῶν συνοικούντων ἐστίν. πότερον μὲν οὖν ἑτέραν ἢ τὴν αὐτὴν θετέον, καθ' ἣν ἀνὴρ ἀγαθός ἐστι καὶ πολίτης σπουδαῖος, δῆλον ἐκ τῶν εἰρημένων, ὅτι τινὸς μὲν πόλεως ὁ αὐτός, τινὸς δ' ἕτερος, κἀκεῖνος οὐ πᾶς, ἀλλ' ὁ πολιτικὸς καὶ κύριος, ἢ δυνάμενος εἶναι κύριος, ἢ καθ' αὑτὸν, ἢ μετ' ἄλλων, τῆς τῶν κοινῶν ἐπιμελείας.

Κεφάλαιον ϛ.

Ἐπεὶ δὲ ταῦτα διώρισται, τὸ μετὰ ταῦτα σκεπτέον πότερον μίαν θετέον πολιτείαν, ἢ πλείους· κἂν εἰ πλείους, τίνες καὶ πόσαι, καὶ διαφοραὶ τίνες αὐτῶν εἰσιν. ἔστι δὲ πολιτεία πόλεως τάξις, τῶν τε ἄλλων ἀρχῶν, καὶ μάλιστα τῆς κυρίας πάντων. κύριον μὲν γὰρ πανταχοῦ τὸ πολίτευμα τῆς πόλεως. πολίτευμα δ' ἐστὶν ἡ πολιτεία. λέγω δ' οἷον, ἐν μὲν ταῖς δημοκρατικαῖς, κύριος ὁ δῆμος· οἱ δ' ὀλίγοι τοὐναντίον ἐν ταῖς ὀλιγαρχίαις. φαμὲν δὲ καὶ πολιτείαν ἑτέραν εἶναι τούτων. τὸν αὐτὸν δὲ τοῦτον ἐροῦμεν λόγον καὶ περὶ τῶν ἄλλων. ὑποθετέον δὲ πρῶτον, τίνος χάριν συνέστηκε πόλις, καὶ τῆς ἀρχῆς εἴδη πόσα τῆς περὶ ἄνθρωπον καὶ τὴν κοινωνίαν τῆς ζωῆς. εἴρηται δὴ καὶ κατὰ τοὺς πρώτους λόγους, ἐν οἷς περὶ οἰκονομίας διωρίσθη καὶ δεσποτείας, ὅτι φύσει μὲν ἐστὶν ἄνθρωπος ζῷον πολιτικόν· διὸ καὶ μηδὲν δεόμενοι τῆς παρ' ἀλλήλων βοηθείας, οὐκ ἔλαττον ὀρέγονται τοῦ συζῆν. οὐ μὴν ἀλλὰ καὶ τὸ κοινῇ συμφέρον συνάγει, καθ' ὅσον ἐπιβάλλει μέρος ἑκάστῳ τοῦ ζῆν καλῶς. μάλιστα μὲν οὖν τοῦτ' ἐστὶ τέλος, καὶ κοινῇ πᾶσι, καὶ χωρίς. συνέρχονται δὲ καὶ τοῦ ζῆν ἕνεκεν αὐτοῦ· ἴσως γὰρ ἔνεστί τι τοῦ καλοῦ μόριον· καὶ συνέχουσι τὴν πολιτικὴν κοινωνίαν, καὶ κατὰ τὸ ζῆν αὐτὸ μόνον, ἂν μὴ τοῖς χαλεποῖς κατὰ τὸν βίον ὑπερβάλλῃ λίαν. δῆλον δ' ὡς καρτεροῦσι πολλὴν κακοπάθειαν οἱ πολλοὶ τῶν ἀνθρώπων, γλιχόμενοι τοῦ ζῆν· ὡς ἐνούσης τινὸς εὐημερίας ἐν αὐτῷ καὶ γλυκύτητος φυσικῆς. ἀλλὰ μὴν καὶ τῆς ἀρχῆς [γε] τοὺς λεγομένους τρόπους ῥᾴδιον διελεῖν· καὶ γὰρ ἐν τοῖς ἐξωτερικοῖς λόγοις διοριζόμεθα περὶ αὐτῶν πολλάκις. ἡ μὲν γὰρ δεσποτεία, καίπερ ὄντος κατ' ἀλήθειαν τῷ τε φύσει δούλῳ, καὶ τῷ φύσει δεσπότῃ ταὐτοῦ συμφέροντος, ὅμως ἄρχει πρὸς τὸ τοῦ δεσπότου συμφέρον οὐδὲν ἧττον· πρὸς δὲ τὸ τοῦ δούλου, κατὰ συμβεβηκός. οὐ γὰρ ἐνδέχεται φθειρομένου τοῦ δούλου, σῴζεσθαι τὴν δεσποτείαν.

A vt inquilinus enim eſt & aduena, qui honores capere non poteſt. Vtrum igitur alia, an eadem virtus ſit, per quam eſt vir bonus & ciuis ſtudioſus, patet ex ſuprà dictis, quòd cuiuſdam ciuitatis idem, cuiuſdam verò alius, & ille non omnis, ſed qui præeſt reipublicæ, & poteſtatem habet, aut ſolus, aut cum aliis gubernationem exercens.

CAPVT VI.

B His ita determinatis, videndum iam eſt, vtrum vna ſit ponenda reſpublica, an plures. Et ſi plures, quæ, & quot, & quænam differentiæ earum ſint. Eſt autem reſpublica ordinatio ciuitatis & circa magiſtratus alios, & maximè circa id quod ſummam in ciuitate habeat autoritatem, & ſi ſit principaliſſimum. Principaliſſimũ autem eſt id, quod vbique gubernat & regit ciuitatem: ceu in populari quidem populus, in paucorum verò potentia pauci.
C Dicimus autem & rempublicam aliam eſſe ab iſtis, eodémque modo dicemus de aliis. Supponendum eſt primo, cuius gratia ciuitas ſit conſtituta, & quot ſint gubernandi ſpecies circa hominem, & circa vitæ ſocietatem. In ſuperioribus libris, vbi de gubernatione rei domeſticæ, ac de domino & ſeruo determinauimus, dictum eſt, natura eſſe hominem ciuile animal ac ſociale.
D Ex quo fit vt ſi etiam nihil indigeant mutuo auxilio, nihilominus affectent vitæ ſocietatem. quinetiam & communis vtilitas coniungit eos, inquantum confert ſingulis partem bene viuendi. maximè igitur hic eſt finis & publicè omnibus, & priuatim. Congregantur etiam ipſius vitæ gratia. forſan enim ineſt ſibi aliqua particula honeſti, & continet ciuilem ſocietatem, etiam viuendi gratia
E ſolùm, ſi non moleſtiæ in vita admodum exuperent. Patet autem quòd tolerant homines multa aſpera, propter viuendi cupiditatem, vt exiſtente in eo quadam proſperitate, & naturali dulcedine. Atqui & modos imperij facile eſt diuidere, cùm ſæpe ſit de his à nobis in externis ſermonibus determinatum. Dominatio enim, licet reuera vtilis exiſtat natura ſeruo, & natura domino, nihilominus imperat pro
F domini vtilitate, pro vtilitate autem ſerui contingenter. neque enim fieri poteſt, vt ſeruo deficiente ſeruetur dominatio.